29 Νοεμβρίου 2014

# Χαιρετισμοί στον Ιερομάρτυρα Φιλούμενον († 29 Νοεμβρίου 1979)

/ Πεμπτουσία

Image not found or type unknown

ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

εις τον ένδοξον νέον ιερομάρτυρα

ΦΙΛΟΥΜΕΝΟΝ ΤΟΝ ΚΥΠΡΙΟΝ

τον παρά το Φρέαρ του Ιακώβ

ιταμώς χερσίν ανόμων αποκτανθέντα.




Κοντάκιον. Ήχος πλ. δ΄. Τη Υπερμάχω.

Τον ανατείλαντα ως άστρον νεαυγέστατον τη Εκκλησία του Χριστού αρτίως μέλψωμεν μαρτυρίου ταις ακτίσι και θαυμασίων ταις βολαίς νεοφανέντα ιερόαθλον, ου ηφθάρτισε το σκήνωμα ο Ύψιστος πόθω κράζοντες ˙ Χαίροις, μάκαρ

Φιλούμενε.

Άγγελος ουρανόφρων εποφθείς συν αγγέλοις, Φιλούμενε, χορεύεις εν πόλω (εκ γ΄) νυν και κάλλους Χριστού του Θεού απολαύων πάντων εκπληροίς, άγιε, τα δίκαια αιτήματα των πίστει σοι βοώντων ταύτα ˙

Χαίρε, ο φίλος του Ζωοδότου,

χαίρε το ξίφος του αρχεκάκου.

Χαίρε, ιερέων ενθέων ακρώρεια,

χαίρε, νεοάθλων ανδρείων υπόδειγμα.

Χαίρε, άνθος ευωδέστατον ευωδίας μυστικής,

χαίρε σκεύος διαυγέστατον καθαράς διαγωγής.

Χαίρε ότι αδίκως εν ναώ απεκτάνθης,

χαίρε ότι νομίμως εν αθλήσει εστέφθης.

Χαίρε, καινόν της πίστεως σέμνωμα,

Χαίρε, δεινόν απίστων κατάπτωμα.

Χαίρε, δι΄ου ευσεβείς δυναμούνται,

Χαίρε, δι΄ου δυσσεβούντες τροπούνται.

Χαίροις, μάκαρ Φιλούμενε.

Βλάστημα της Ορούντης ευανθές και ωραίον, οδμαίς της σης σεμνής πολιτείας εκ νεότητος χρόνων των σων νήσον Κύπρον, πάτερ, αθλητών καύχημα, εμύρισας και ήγειρας πιστούς αξιοχρέως κράζειν ˙

Αληλούϊα.

Γάνυται νήσος Κύπρος τοις σεπτοίς σου σπαργάνοις, Φιλούμενε, στερρέ νεομάρτυς, και Μονή χαίρει ως σου τροφός του Σταυροβουνίου προς ζωήν κρείττονα και μελιρρύτοις άσμασι βοά σοι γεγηθυία ταύτα ˙

Χαίρε, ασκήσεως η κινύρα,

Χαίρε, φρονήσεως θεία λύρα.

Χαίρε, των οσίων ζηλώσας τα σκάμματα,

Χαίρε, ότι τα εγκόσμια απηρνήσω νουνεχώς,

Χαίρε, ότι τα ουράνια επορίσω θαυμαστώς.

Χαίρε, ο εν ασκήσει θεαρέστω εμπρέπων,

Χαίρε, ο εν αθλήσει γεραρά διαπρέπων.

Χαίρε, σαρκός κοιμίσας σκιρτήματα,

Χαίρε, νοός υψώσας τον έρωτα.

Χαίρε, εχθρού καθαιρέτα απάτης.

Χαίροις, μάκαρ Φιλούμενε.

Δύναμιν δεδεγμένος ουρανόθεν αζύγων χορείαις ηριθμήθης και ώφθης ενδιαίτημα υπακοής και Θεού σοφίας φωτεινόν μέλαθρον εκ χρόνων σου νεότητος Κυρίω ασιγήτως ψάλλων ˙

Αληλούϊα.

Έλαμψας εν τοις δήμοις Παναγίου του Τάφου Χριστώ ευαρεστήσας οσίως και οδόν ηξιώθης στενήν διανύσαι, πάτερ, αρετών έσοπτρον, Φιλούμενε, αθλήσεως ˙ διο σοι εκβοώμεν πίστει ˙

Χαίρε, ο λύχνος αοργησίας,

Χαίρε, ο τύπος της εγκρατείας.

Χαίρε, ο ευφράνας πιστών την ομήγυριν,

Χαίρε, ο πατήσας απίστων απίστων την έπαρσιν.

Χαίρε, σκάμμασιν αθλήσεως ο σφραγίσας σην ζωήν,

Χαίρε, αίμασιν ιδίοις σου επιχρώσας σην Μονήν.

Χαίρε ότι ανόμων ταις χερσίν απεκτάνθης,

Χαίρε, ότι βαρβάρων την μανίαν υπέστης.

Χαίρε, λαμπτήρ ενθέου βιώσεως,

Χαίρε κρατήρ αγάπης της κρείττονος.

Χαίρε, χαρά Σαμαρείας και κλέος,

Χαίρε, αρά του Βελίαρ και μένος.

Χαίροις, μάκαρ Φιλούμενε.

Ζέοντα έχων πόθον εις αιώνα συνείναι Χριστώ τω Βασιλεί των απάντων υπερόπτης επώφθης φθαρτών και ματαίων, πάτερ, αρετής πρόβολε, Φιλούμενε, εκάστοτε ζηλών τα εν Εδέμ και κράζων ˙

Αληλούϊα.

Ήσχυνας τον Βελίαρ ση ενθέω ασκήσει, Φιλούμενε, εν τη Σαμαρεία και σεπτή Μάνδρα υπηρετών Ιακώβ εσχάτοις εν καιροίς Φρέατος θεόθεν ήντλεις δύναμιν ˙ διο σοι ευθαρσώς βοώμεν ˙

Χαίρε, λευΐτης της Σαμαρείας,

Χαίρε, ο μύστης της Εκκλησίας.

Χαίρε, ο βιώσας ζωήν ισουράνιον,

Χαίρε, ο τρυγήσας καρπόν τον αθάνατον.

Χαίρε, στέφος χρυσοποίκιλτον Φρέατος του Ιακώβ,

Χαίρε, δένδρον ευθαλέστατον εξανθίσαν εν Σιών.

Χαίρε, ο συνοικήσας αρετή ψυχοτρόφω,

Χαίρε, ο αγαπήσας τον Χριστόν ολοθύμως.

Χαίρε, ο ύδωρ αντλήσας σωτήριον,

Χαίρε, το άνθος αγάπης το ήδιστον.

Χαίρε, πιστών ο ευφραίνων τον δήμον,

Χαίρε, ημών ο την πίστιν κρατύνων.

Χαίροις, μάκαρ Φιλούμενε.

Θείε Κτίστου θεράπων, του φωτός του αΰλου, Φιλούμενε, υπάρχεις θεάμων ως οσίων ανδρών ζηλωτής και μαρτύρων νέων θησαυρός άσυλος ˙ διο σην μνήμην

σέβοντες βοώμεν τω Θεώ των όλων ˙

Αληλούϊα.

Ίσος κλεινών μαρτύρων πεφηνώς, νεομάρτυς Φιλούμενε, των πάλαι λαμψάντων απεκτάνθης ανόμοις χερσίν εν εσχάτοις χρόνοις, ο Χριστός πάντοτε αυτός εχθές και σήμερον δεικνύων και βοάν σοι πείθων ˙

Χαίρε, η τρώσις του παμβεβήλου,

Χαίρε, η ρώσις λαού Κυρίου.

Χαίρε, ουρανίου χαράς ο συναίτιος,

Χαίρε, της ενθέου σοφίας ο σύνοικος.

Χαίρε, ότι τους καλούντας σε αγιάζεις μυστικώς,

Χαίρε, ότι τους υμνούντας σε ευλογείς διηνεκώς.

Χαίρε, της Εκκλησίας ο νεόδμητος πύργος,

Χαίρε, της εγκρατείας το νεόφυτον έρνος.

Χαίρε, Χριστού φιλίας επώνυμος,

Χαίρε, εχθρού ο σκόλωψ ο πάνδεινος.

Χαίρε, αμνός ο της πίστεως θείος,

Χαίρε, πυρσός της αγάπης ο νέος.

Χαίροις, μάκαρ Φιλούμενε.

Καύχημα νεοάθλων, ώσπερ άμωμον θύμα, Φιλούμενε, Χριστώ προσηνέχθης και δεξάμενος στέφος χρυσούν παρ΄Αυτού αφθάρτου βιοτής, άγιε, συν τοις Αγγέλοις πάντοτε Αυτώ αδιαλείπτως ψάλλεις ˙

Αληλούϊα.

Λάμπων ως νέος λύχνος ουρανόφωτος, μάκαρ Φιλούμενε, εν τη Σαμαρεία κατεφώτισας σαις αστραπαίς αγωγής αμέμπτου και στερράς, ένδοξε, αθλήσεως τους άδοντας νυν ύμνοις σοι φαιδροίς τοιαύτα ˙

Χαίρε, το σέλας οσίων πόνων,

Χαίρε, το κέρας των νεοάθλων.

Χαίρε, ο φανός αρετής ο νεόφωτος,

Χαίρε, ο λαμπρός Εκκλησίας διάκοσμος.

Χαίρε, λίθος ο στερέμνιος άθλων των ασκητικών,

Χαίρε, ότι αδίκως άρτι εσφαγιάσθης,

Χαίρε, ότι ενδόξως τω Κυρίω μετέστης.

Χαίρε, διδούς χαράν τοις σοις πρόσφυξι,

Χαίρε, πιστούς ευφράνας σοις σκάμμασι.

Χαίρε, ψυχής ο εκφαίνων ανδρείαν,

Χαίρε, εχθρού ο εκτρέπων μανίαν.

Χαίροις, μάκαρ Φιλούμενε.

Μνήμην σου εκτελούντες του σεπτού μαρτυρίου, Φιλούμενε εκθύμως βοώμεν ˙ μη ελλίπης Χριστόν δυσωπών ασινείς φυλάττειν του εχθρού άπαντας μανίας τους ικέτας σου τους νυν τω Λυτρωτή φωνούντας ˙

Αληλούϊα.

Νέε ιερομάρτυς, το σον πάνσεπτον σκήνος, Χριστός όπερ ηφθάρτισε πόθω προσκυνούντες εν Μάνδρα Σιών ευθαρσώς φωνούμεν ˙ αθλητά ένδοξε, αγίασον σους πρόσφυγας τους ύμνοις μελιχροίς βοώντας ˙

Χαίρε, ο βότρυς χρηστοηθείας,

Χαίρε, ο λύτης της ακηδίας.

Χαίρε, ασθενούντων θεόσδοτος ίασις,

Χαιρε, θλιβομένων ταχεία ανάψυξις.

Χαίρε, άρωμα της χάριτος ο εκχέων του Θεού,

Χαίρε, σκήνωμα σεμνότητος και αγάπης Ιησού.

Χαίρε, ιερωσύνην τη αθλήσει συνάψας,

Χαίρε, σθένος και ρώσιν αθλητών ο εκλάμψας.

Χαίρε, ηθών αμέμπτων κιννάμωμον,

Χαίρε, κανών βιοτής ισαγγέλου,

Χαίρε, λειμών αγωγής θεαρέστου.

Χαίροις, μάκαρ Φιλούμενε.

Ξένων πέλεις θαυμάτων αυτουργός, θεοφόρε Φιλούμενε, των σοι προστρεχόντων και το σκήνωμά σου το σεπτόν προσκυνούντων πόθω εν Σιών, άγιε, το βλύζων πάσι νάματα ιάσεων τοις εκβοώσιν ˙

Αληλούϊα.

Ὁλος λελαμπρυσμένος θεϊκαίς αγλαΐας εφίστασαι Αγίοις τοις Τόποις και σην άφθονον χάριν αεί ευσεβέσι νέμεις, αθλητά πάντιμε, Φιλούμενε, τοις πόθω σοι κραυγάζουσιν εν κατανύξει

Χαίρε, το φέγγος των ιερέων,

Χαίρε, το φάος των μονοτρόπων.

Χαίρε, της αΰλου ευκλείας θησαύρισμα,

Χαίρε, ουρανίου σοφίας εναύλισμα.

Χαίρε, ύψος εγρηγόρσεως, νήψεως και προσευχής,

Χαίρε, βάθος ταπεινώσεως και στερράς υπομονής.

Χαίρε, σφάγιον νέον μιαιφόνων δολίων,

Χαίρε, λείριον θείον αθλοφόρων ευψύχων.

Χαίρε, ψυχής ανδρείας αμάρυγμα,

Χαίρε, σεπτής αθλήσεως αύγασμα ˙

Χαίρε, οφρύν παρανόμων πατήσας,

Χαίρε, πηγήν ο θαυμάτων εκβλύσας.

Χαίροις, μάκαρ Φιλούμενε.

Πρέσβευε τω Κυρίω υπέρ πάντων τιμώντων, Φιλούμενε, σην πάντιμον μνήμην και εκπλήρου ημών των πιστών προσκυνούντων σκήνωμα το σον δίκαια αιτήματα των άσμασι ψαλλόντων τω Δωρεοδότη ˙

Αληλούϊα.

Ρείθροις δεήσεών σου προς τον Κύριον σβέσον παφλάζουσαν οδύνην ψυχής μου και παράσχου μοι αναψυχήν θείαν, αθλοφόρε νεαυγές πίστεως, Φιλούμενε, κραυγάζω σοι, ως αν πανευλαβώς βοώ σοι ˙

Χαίρε, μαρτύρων ο δόξαν φέρων,

Χαίρε, παμφώτων δας ιερέων.

Χαίρε, Σαμαρείας προστάτης ακοίμητος,

Χαίρε, της χορείας Αγγέλων ο σύσκηνος.

Χαίρε, ότι πάντας κάμνοντας ενισχύεις ακλινώς,

χαίρε, ότι τάχος στένοντας αναψύχεις θαυμαστώς.

Χαίρε, ο διαλύσας ανομίας το κράτος,

Χαίρε, ο καταπαύσας παν χαμαίζηλον πάθος.

Χαίρε, πολλών θαυμάτων κεφάλαιον,

Χαίρε, πιστών διάδημα τίμιον.

Χαίρε, σεμνών λευϊτών κοσμιότης,

Χαίρε, εικών αθλητών και λαμπρότης.

Χαίροις, μάκαρ Φιλούμενε.

Σώσον της πανουργίας πλάνου Αγιοταφίτας και πάντα προσκυνούντας σον σκήνος το βλυστάνων πιστοίς θαυμαστώς ιαμάτων ρείθρα, αθλητά άριστε, Φιλούμενε, πρεσβείαις σου προς Κύριον, Ω ήδες πόθω ˙

Αληλούϊα.

Τείνον σην θείαν χείρα και ευλόγησον πάντας τιμώντας σε, Φιλούμενε μάκαρ, νεομάρτυς Χριστού ευσταλές, δωρεών ενθέων ιερόν κάνιστρον, ως αν την σην ενάθλησιν γεραίρωμεν τρανώς βοώντες ˙

Χαίρε, μυράλειπτρον των χαρίτων,

Χαίρε, λευκάνθεμον θαυμασίων.

Χαίρε, απαθείας η κέδρος η εύοσμος,

Χαίρε, αφθαρσίας ευώδης κυπάρισσος.

Χαίρε, ότι την ικμάδα σου αφιέρωσας Χριστώ,

Χαίρε, ότι θείοις έργοις σου καταβέβληκας εχθρόν.

Χαίρε, ο μετά πότμον ξένως θαυματουργήσας,

Χαίρε, ο θείον κρίνον ιαμάτων ανθήσας.

Χαίρε, ψυχών δροσίζων τον καύσωνα,

Χαίρε, ημίν πορίζων τα πρόσφορα.

Χαίρε, ημίν εν τω βίω αρήγων,

Χαίρε, αει τας ιάσεις παρέχων

Χαίροις, μάκαρ Φιλούμενε.

Ύψος εις απαθείας επαρθείς, αθλοφόρε Φιλούμενε, πανάρρητον χαίρων κατεδέξω τραυμάτων πληθύν, σιαγόνος θλάσιν, οφθαλμού θείου σου εξόρυξιν και θάνατον φρικτόν ειλικρινώς κραυγάζω ˙

Αληλούϊα.

Φύλαττε τους Πατέρας Παναγίου του Τάφου και πάντας ευσεβείς σης πατρίδος της Ορούντης εν Κύπρω, σοφέ, εξ εχθρών μανίας και δεινών θλίψεων, Φιλούμενε πανένδοξε, ως αν σοι εν χαρά βοώμεν ˙

Χαίρε, πιστών ατίνακτος πύργος,

Χαίρε, εχθρών συντρίψας το θράσος.

Χαίρε, Σαμαρείας φρουρός ασφαλέστατος,

Χαίρε, Εκκλησίας ανύστακτος έφορος.

Χαίρε, στήριγμα θεόσδοτον Ορθοδόξων ευσεβών,

Χαίρε, καύχημα περίδοξον ταπεινών προσκυνητών.

Χαίρε, ότι βραβεύεις χάριν σε προσκυνούσι,

Χαίρε, ότι παρέχεις σθένος σε ανυμνούσι.

Χαίρε, Θεού εκφαίνων την εύκλειαν,

Χαίρε, εχθρού εκτρέπων την άνοιαν.

Χαίρε, Σιών ιερόν ιατρείον,

Χαίρε, παθών την ενέργειαν φλέγων.

Χαίροις, μάκαρ Φιλούμενε.

Χάριτας αναβλύζει το σον άφθαρτον σκήνος και θείαν αγαλλίασιν πάσι προσκυνούσιν αυτό ευλαβώς και καθαγιάζει τα ημών σώματα των πίστει ανυμνούντων σε και άδουσι τω Ζωοδότη ˙

Αληλούϊα.

Ψάλλοντες διαθέρμως τους σεπτούς σου καμάτους υμνούμεν την δοθείσαν σοι χάριν και σκηνώματι σου τω σεπτώ παρεστώτες θείαν αρωγήν, άγιε την σην επιβοώμεθα, ην δίδου τοις πιστώς βοώσι ˙

Χαίρε, ο θείος ιεροφάντης,

Χαίρε, ο νέος πιστών προστάτης.

Χαίρε, ουρανίου παστάδος ο ένοικος,

Χαίρε, τρισηλίου ελλάμψεως έμπλεως.

Χαίρε, θέμεθλος νεόδμητος οίκου αγωνιστικού,

Χαίρε, πρόβολος ατίνακτος ευσεβόφρονος λαού.

Χαίρε, συν Ελπιδίω ο Χριστόν αγαπήσας,

Χαίρε, συν αυταδέλφω σω Αυτόν ο ποθήσας.

Χαίρε, δεινών παθών ολετήριον,

Χαίρε, ημών εν ταις λύπαις προσφύγιον.

Χαίρε, θερμός ευσεβών παραστάτης,

Χαίρε, καμού εν κινδύνοις προστάτης.

Χαίροις, μάκαρ Φιλούμενε.

Ώ Φιλούμενε μάκαρ, νεαυγέστατον άστρον Χριστού της παμφαούς Εκκλησιας, (εκ γ΄) το εκλάμπον θαυμάτων βολαίς, τας αιτήσεις πλήρου των πιστώς πάντοτε σπευδόντων τη ση χάριτι και άσμασι φαιδροίς βοώντων ˙

Αληλούϊα.

Και αύθις το Κοντάκιον.

Ήχος πλ. δ΄. Τη Υπερμάχω.

Τον ανατείλαντα ως άστρον νεαυγέστατον τη Εκκλησία του Χριστού αρτίως μέλψωμεν μαρτυρίου ταις ακτίσι και θαυμασίων ταις βολαίς νεοφανέντα ιερόαθλον, ου ηφθάρτισε το σκήνωμα ο Ύψιστος πόθω κράζοντες Χαίροις μάκαρ Φιλούμενε.

Δίστιχον.

Χαίρε, Φιλούμενε μάρτυς, Χαραλάμπης

Συν τω επισκόπω βοά Νεοφύτω